φίλον τὸ κατὰ δύναμιν. Σὺ δὲ ἡμᾶς ἐποπτεύεις ἄνωθεν, ὦ θεία καὶ ἱερὰ κεφαλή! καὶ τὸν δεδομένον ἡμῖν παρὰ Θεοῦ σκόλοπα[3] τῆς σαρκὸς τὴν ἡμετέραν παιδαγωγίαν, ἢ στήσαις ταῖς σεαυτοῦ πρεσβείαις, ἢ πείσαις καρτερῶς φέρειν, καὶ τὸν πάντα βίον ἡμῖν διεξάγοις[4] πρὸς τὸ λυσιτελέστατον. Εἰ δὲ μετασταίημεν, δέξαιο κἀκεῖθεν ἡμᾶς ταῖς σεαυτοῦ σκηναῖς, ὡς ἂν ἀλλήλοις συζῶντες, καὶ συνεποπτεύοντες τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, καθαρώτερόν τε καὶ τελεώτερον, ἧς νῦν μετρίως δεδέγμεθα τὰς ἐμφάσεις. Ἐνταῦθα σταίημεν[5] τῆς ἐφέσεως, καὶ ταύτην λάβοιμεν, ὧν πεπολεμήκαμεν καὶ πεπολεμήμεθα τὴν ἀντίδοσιν.

§ 90. Σοὶ μὲν οὖν οὗτος παρ' ἡμῶν[2] ὁ λόγος· ἡμᾶς δὲ τίς ἐπαινέσεται τὸν βίον μετὰ σὲ ἀπολείποντας; εἰ καίτι παράσχοιμεν ἐπαίνου τοῖς λόγοις ἄξιον, ἐν Χριστῷ[3] Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν; ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

---

## ΕΚ ΤΩΝ

# ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ.

## ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΣ.

### Ὑπόθεσις.

Ἀποκηρυχθείς τις, ἰατρικὴν ἐξέμαθε· μανέντα τὸν πατέρα, καὶ ὑπὸ τῶν ἄλλων ἰατρῶν ἀπεγνωσμένον, ἰασάμενος φαρμάκου δόσει, ἀνελήφθη αὖθις εἰς τὸ γένος. Μετὰ ταῦτα μεμηνυῖαν τὴν μητρυιὰν ἰᾶσθαι κελευόμενος, ἀπειθῶν διὰ τὸ ἀδυνατεῖν ἰᾶσθαι τὸ πάθος, πάλιν ἀποκηρύττεται.

§ 1. Οὐ καινὰ μὲν ταῦτα, ὦ ἄνδρες δικασταί, οὐδὲ παράδοξα, ὑπὸ τοῦ πατρὸς ἐν τῷ παρόντι γιγνόμενα·[2] οὐδὲ νῦν πρῶτον τὰ τοιαῦτα ὀργίζεται, ἀλλὰ πρόχειρος οὗτος ὁ νόμος αὐτῷ, καὶ συνήθως ἐπὶ τοῦτο ἀφικνεῖται τὸ δικαστήριον.[3] Ἐκεῖνο δὲ[4] καινότερον νῦν δυστυχῶ, ὅτι ἔγκλημα μὲν ἴδιον οὐκ ἔχω, κινδυνεύω δὲ τιμω-

---

ἐνεστησάμην. — 3. Σκόλοπα.) Τὴν νόσον λέγει. — 4. Διεξάγοις.) Διευθύνοις δηλ. — 5. Ἐνταῦθα σταίημεν.) Ἐν ταῖς σεαυτοῦ σκηναῖς καταπαύσαιμεν, ἣν εἴχομεν ἔφεσιν, ἀπολαῦσαι τὸ ἄκρον ἐφετὸν, καὶ ἀντιλάβοιμεν τὴν ἀντίδοσιν ταύτην, περὶ ὧν κατὰ τῶν αἱρετικῶν πεπολεμήκαμεν, καὶ ὑπέστημεν ὑπ' αὐτῶν.

§ 90 2. Οὗτος παρ' ἡμῶν.) Προσηνέχθη δηλ. — 3. Ἐν Χριστῷ.) Ἐνδυναμούμενος δηλ. τῇ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

§ 1, 2. Γιγνόμενα.) Ἐννοεῖται ἐστίν. Γν' ἢ οὐ νέα, οὐδὲ ξένα γίνονται ταῦτα, ἃ ὁρᾶτε, ὑπὸ τοῦ Πατρός. — 3. Ἐπὶ τοῦτο . . . . τὸ δικαστήριον.) Καθ' ὃ ἀποκηρύττειν βούλεται ἐμέ. — 4. Ἐκεῖνο δέ.) Ἐκεῖνο δὲ, ὃ νῦν δυστυχῶ, ἐστὶ καινότερον

ρίαν ὑποσχεῖν[5] ὑπὲρ τῆς τέχνης, εἰ μὴ πάντα δύναται πείθεσθαι τούτῳ κελεύοντι· οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; Θεραπεύειν ἐκ προστάγματος, οὐκ ἔθ' ὡς ἡ τέχνη δύναται, ἀλλ' ὡς ὁ πατὴρ βούλεται. Ἐβουλόμην μὲν οὖν τὴν ἰατρικὴν, καὶ τοιοῦτόν τι ἔχειν φάρμακον, ὃ μὴ μόνον τοὺς μεμηνότας, ἀλλὰ καὶ τοὺς ἀδίκως ὀργιζομένους παύειν ἐδύνατο, ἵνα καὶ τοῦτο[6] τὸ τοῦ πατρὸς νόσημα ἰασαίμην· νυνὶ δὲ τὰ μὲν τῆς μανίας αὐτῷ τέλεον πέπαυται· τὰ δὲ τῆς ὀργῆς μᾶλλον ἐπιτείνεται. Καὶ τὸ δεινότατον, τοῖς μὲν ἄλλοις ἅπασι σωφρονεῖ, κατ' ἐμοῦ δὲ τοῦ θεραπεύσαντος μόνου μαίνεται. Τὸν μὲν οὖν μισθὸν[7] τῆς θεραπείας ὁρᾶτε οἷον ἀπολαμβάνω, ἀποκηρυττόμενος ὑπ' αὐτοῦ πάλιν, καὶ τοῦ γένους ἀλλοτριούμενος δεύτερον, ὥσπερ[8] διὰ τοῦτ' ἀναληφθεὶς πρὸς ὀλίγον, ἵν' ἀτιμότερος γένωμαι πολλάκις ἐκπεσὼν τῆς οἰκίας.

§ 2. Ἐγὼ δὲ ἐν μὲν τοῖς δυνατοῖς οὐδὲν κελευσθῆναι περιμένω· πρώην γοῦν[2] ἄκλητος ἧκον ἐπὶ βοήθειαν·[3] ὅταν δέ τι ἢ τελέως ἀπεγνωσμένον, οὐδ' ἐπιχειρεῖν βούλομαι. Ἐπὶ δὲ τῆς γυναικὸς ταύτης εἰκότως καὶ ἀτολμότερός εἰμι. Λογίζομαι γὰρ οἷα πάθοιμ' ἂν ὑπὸ τοῦ πατρὸς ἀποτυχών· ὃς οὐδ' ἀρξάμενος τῆς θεραπείας, ἀποκηρύττομαι. Ἄχθομαι μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐπὶ τῇ μητρυιᾷ, χαλεπῶς ἐχούσῃ, χρηστὴ γὰρ ἦν· καὶ ἐπὶ τῷ πατρὶ δι' ἐκείνην ἀνιωμένῳ· τὸ δὲ μέγιστον, ἐπ' ἐμαυτῷ, ἀπειθεῖν δοκοῦντι, καὶ ἃ πράττομαι ὑπουργεῖν οὐ δυναμένῳ, καὶ δι' ὑπερβολὴν τῆς νόσου, καὶ ἀσθένειαν τῆς τέχνης. Πλὴν οὐ δίκαιον οἶμαι ἀποκηρύττεσθαι, τὸν ἃ μὴ δύναται ποιεῖν, μηδὲ τὴν ἀρχὴν[4] ὑπισχνούμενον.

§ 3. Δι' ἃς μὲν οὖν αἰτίας καὶ πρότερον ἀπεκήρυξέ με, ῥᾴδιον συνιδεῖν ἐκ τῶν παρόντων. Ἐγὼ δὲ καὶ πρὸς ἐκείνας μὲν, ὡς οἴομαι, ἱκανῶς τῷ μετὰ ταῦτα βίῳ ἀπελογισάμην, καὶ ταυτὶ δὲ, ἃ νῦν ἐγκαλεῖ, ὡς ἂν οἷός τε ὦ, ἀπολογήσομαι, μικρὰ ὑμῖν διηγησάμενος τῶν ἐμῶν. Ὁ γὰρ δυσάγωγος[2] καὶ δυσπεισθὴς ἐγὼ, ὁ καταισχύνων τὸν πατέρα, καὶ ἀνάξια πράττων τοῦ γένους, τότε μὲν αὐτῷ τὰ πολλὰ ἐκεῖνα βοῶντι καὶ διατεινομένῳ, ὀλίγα

---

τὸ ἑξῆς δηλ. — 5. Τιμωρίαν ὑποσχεῖν.) Περιφραστικῶς ἀντὶ τοῦ κολασθῆναι. — 6. Καὶ τοῦτο.) Καθάπερ δηλ. ἰασάμην αὐτοῦ καὶ τὴν μανίαν, οὕτω καὶ τὴν ὀργήν. Τὸ δὲ ἰασαίμην εὐκτικὸν, ὅτι ἀπὸ παρῳχημένου ὁ ἵνα. — 7. Τὸν μὲν οὖν μισθόν.) Ὁρᾶτε οἷός ἐστιν ὁ τῆς θεραπείας μισθὸς, ὃν παρὰ τοῦ πατρὸς ἀπολαμβάνω. — 8. Ὥσπερ.) Τρόπον τινὰ διὰ ταύτην τὴν αἰτίαν ἀνελήφθην, ἵνα κτλ.

§ 2. 2. Γοῦν.) Αἰτιολογικὸς ἀντὶ τοῦ γάρ. — 3. Ἐπὶ βοήθειαν.) Τινὲς δὲ μετ' ἄρθρου γράφουσι· ἀναγκαία δέ τοι δοκεῖ ἡ τοῦ ἄρθρου προσθήκη· περιορίζει γὰρ τὴν βοήθειαν. — 4. Μηδὲ τὴν ἀρχήν.) Ἀντὶ Μηδόλως.

§ 3. 2. Ὁ γὰρ δυσάγωγος.) Κατ' εἰρωνίαν λέγει ταῦτα, καὶ ὡς ῥήματα τοῦ Πατρὸς τότε θυμουμένου.

χρῆναι ἀντιλέγειν ᾠόμην· ἀπελθὼν δὲ τῆς οἰκίας, ἐνόμιζόν μοι δικαστήριον ἔσεσθαι μέγα, καὶ ψῆφον ἀληθῆ, τὸν μετὰ ταῦτα βίον, καὶ τὸ φαίνεσθαι πάμπολυ τῶν τοῦ πατρὸς ἐγκλημάτων ἐκείνων ἀφεστηκότα, καὶ περὶ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων ἐσπουδακότα, καὶ τοῖς ἀρίστοις συνόντα. Προεωρώμην δὲ καὶ τοιοῦτόν τι, καὶ ὑπώπτευον ἤδη, ὡς οὐ σφόδρα καθεστηκότος πατρὸς, ἀδίκως ὀργίζεσθαι, καὶ ἐγκλήματα ψευδῆ καθ' υἱοῦ συντιθέναι· καὶ ἦσάν τινες, οἱ μανίας ἀρχὴν ταῦτ' εἶναι νομίζοντες, καὶ ἀπειλὴν, καὶ ἀκροβολισμὸν, οὐκ ἐς μακρὰν ἐπιπεσουμένου τοῦ κακοῦ, μῖσος ἄλογον, καὶ νόμον ἀπηνῆ, καὶ βλασφημίας προχείρους, καὶ δικαστήριον σκυθρωπὸν, καὶ βοὴν, καὶ ὀργὴν, καὶ ὅλως χολῆς μεστὰ πάντα. Διὸ δὴ τάχα μοι καὶ ἰατρικῆς δεήσειν ποτὲ προσεδόκων.

§ 4. Ἀποδημήσας οὖν, καὶ τοῖς εὐδοκιμωτάτοις τῶν ἐπὶ τῆς ἀλλοδαπῆς ἰατρῶν συγγενόμενος, καὶ πόνῳ πολλῷ, καὶ προθυμίᾳ λιπαρεῖ χρησάμενος, ἐξέμαθον τὴν τέχνην. Ἐπανελθὼν δὲ, καταλαμβάνω τὸν πατέρα, σαφῶς ἤδη μεμηνότα, καὶ ὑπὸ τῶν ἐπιχωρίων ἰατρῶν ἀπεγνωσμένον, οὐκ εἰς βάθος ὁρώντων, οὐδ' ἀκριβῶς φιλοκρινούντων τὰς νόσους· πλὴν ὅπερ γε εἰκὸς ἦν ποιεῖν χρηστὸν υἱὸν, οὔτε ἐμνησικάκησα τῆς ἀποκηρύξεως, οὔτε μετάπεμπτος[2] γενέσθαι περιέμεινα. Οὐδὲ γὰρ εἶχόν τι αὐτῷ ἴδιον ἐγκαλεῖν, ἀλλὰ πάντα ἐκεῖνα ἦν ἀλλότρια τὰ ἁμαρτήματα, καὶ ὥσπερ ἔφην ἤδη, τῆς νόσου. Παρελθὼν οὖν ἄκλητος, οὐκ εὐθὺς ἰασάμην, οὐ γὰρ οὕτω ποιεῖν ἔθος ἐστὶν ἡμῖν, οὐδὲ ταῦτα ἡ τέχνη παραινεῖ, ἀλλὰ πάντων πρῶτον[3] διδασκόμεθα συνορᾷν εἴτε ἰάσιμόν ἐστι τὸ νόσημα, εἴτ' ἀνήκεστον, καὶ ὑπερβεβηκὸς τοὺς ὅρους τῆς τέχνης. Καὶ τηνικαῦτα ἣν μὲν εὐμεταχείριστον ᾖ, ἐπιχειροῦμεν, καὶ πᾶσαν σπουδὴν ἐσφερόμεθα σῶσαι τὸν νοσοῦντα· ἣν δὲ κεκρατηκὸς ἤδη, καὶ νενικηκὸς τὸ πάθος ἴδωμεν, οὐδὲ τὴν ἀρχὴν προσαπτόμεθα, νόμον τινὰ παλαιὸν τῶν προπατόρων τῆς τέχνης ἰατρῶν φυλάττοντες, οἵ φασι[4] μὴ δεῖν ἐπιχειρεῖν τοῖς κεκρατημένοις. Ἰδὼν οὖν τὸν πατέρα ἔτι ἐντὸς τῆς ἐλπίδος, καὶ τὸ πάθος οὐχ ὑπὲρ τὴν τέχνην,[5] ἐπὶ πολὺ τηρήσας, καὶ ἀκριβῶς ἐξετάσας ἕκαστα, ἐπεχείρουν ἤδη, καὶ τὸ φάρμακον τεθαῤῥηκότως ἐνέχεον, καίτοι πολλοὶ τῶν παρόντων ὑπόπτευον τὴν δόσιν, καὶ τὴν ἴασιν διέβαλλον, καὶ πρὸς κατηγορίας παρεσκευάζοντο.

§ 4. 2. Οὔτε μετάπεμπτος.) Οὔτε περιέμεινα ἵνα πέμψαντες προσκαλέσωσί με. — 3. Πάντων πρῶτον.) Τὸ πρῶτον γενικῇ κατὰ τὰ ὑπερθετικὰ συντάσσεται, ὑπερθετικοῦ δύναμιν ἔχον. — 4. Οἵ φασι.) Οἵτινες προπάτορες ἡμῶν φασιν· ὁ Ἱπποκράτης δηλ. ἐν τῷ περὶ τέχνης. — 5. Οὐχ ὑπὲρ τὴν τέχνην.) Ὃν δηλ.

§ 5. Παρῆν δὲ καὶ ἡ μητρυιὰ φοβουμένη, καὶ ἀπιστοῦσα, οὐ τῷ μισεῖν[2] ἐμὲ, ἀλλὰ τῷ δεδιέναι, καὶ ἀκριβῶς εἰδέναι πονήρως[3] ἐκεῖνον διακείμενον. Ἠπίστατο γὰρ μόνη τὰ πάντα συνοῦσα, καὶ ὁμοδίαιτος τῇ νόσῳ. Πλὴν ἀλλ' ἔγωγε οὐδὲν ἀποδειλιάσας, (ἠπιστάμην γὰρ οὐ ψευσόμενά με τὰ σημεῖα, οὐδὲ προδώσουσαν τὴν τέχνην) ἐπῆγον τὴν ἴασιν ἐν καιρῷ τῆς ἐπιχειρήσεως. Καίτοι κἀμοί τινες τῶν φίλων συνεβούλευον μὴ θρασύνεσθαι, μὴ καὶ διαβολήν τινα μείζω ἐνέγκῃ μοι τὸ ἀποτυχεῖν, ὡς ἀμυνομένῳ τὸν πατέρα φαρμάκῳ, καὶ μνησικακήσαντι, ὧν ἐπεπόνθειν ὑπ' αὐτοῦ. Καὶ τὸ κεφάλαιον, σῶος μὲν οὗτος εὐθὺς ἦν, καὶ ἐσωφρόνει πάλιν, καὶ πάντα διεγίγνωσκεν· οἱ παρόντες δὲ ἐθαύμαζον, ἐπῄνει δὲ καὶ ἡ μητρυιὰ, καὶ φανερὰ πᾶσι ἦν χαίρουσα, κἀμοὶ εὐδοκιμοῦντι,[4] κἀκείνῳ σωφρονοῦντι. Οὗτος δ' οὖν (μαρτυρεῖν γὰρ αὐτῷ ἔχω) μήτε μελλήσας, μήτε σύμβουλόν τινα περὶ τούτων προσλαβὼν, ἐπειδὴ τὸ πᾶν ἤκουσε τῶν παρόντων, ἔλυε μὲν τὴν ἀποκήρυξιν, υἱὸν δὲ ἐξ ὑπαρχῆς ἐποιεῖτό με, σωτῆρα καὶ εὐεργέτην ἀποκαλῶν, ἀκριβῆ πεῖραν εἰληφέναι ὁμολογῶν, καὶ περὶ τῶν ἔμπροσθεν ἐκείνων ἀπολογούμενος.[5] Τοῦτο γενόμενον εὔφραινε μὲν πολλοὺς, ὅσοι παρῆσαν χρηστοί· ἐλύπει δ' ἐκείνους, ὅσοις ἀποκήρυξις υἱοῦ ἡδίων ἀναλήψεως. Εἶδον γοῦν[6] τότε οὐ πάντας ὁμοίως ἡδομένους τῷ πράγματι, ἀλλ' εὐθύς τινος καὶ χρόαν τρεπομένην, καὶ βλέμμα τεταραγμένον, καὶ πρόσωπον ὠργισμένον, οἷον ἐκ φθόνου, καὶ μίσους γίγνεται. Ἡμεῖς[7] μὲν οὖν, ὡς τὸ εἰκὸς, ἐν εὐφροσύναις καὶ θυμηδίαις ἦμεν, ἀλλήλους ἀπειληφότες.

§ 6. Ἡ μητρυιὰ δὲ μετὰ μικρὸν εὐθὺς νοσεῖν ἤρξατο νόσον, ὦ ἄνδρες δικασταὶ, χαλεπὴν καὶ παράλογον.[2] Ἀρχόμενον γὰρ εὐθὺς τὸ δεινὸν παρεφύλαξα· οὐ γὰρ ἁπλοῦν, οὐδ' ἐπιπόλαιον τῆς μανίας τὸ εἶδος, ἀλλά τι παλαιὸν ὑποικουροῦν ἐν τῇ ψυχῇ κακὸν ἀπέῤῥηξε, καὶ εἰς τοὐμφανὲς ἐξενίκησε. Πολλὰ μὲν οὖν καὶ ἄλλα ἡμῖν ἔστι σημεῖα τῶν ἀνιάτως μεμηνότων. Ἓν δὲ ἐκεῖνο κοινὸν ἐπὶ τῆς γυναικὸς ταύτης παρεφύλαξα· πρὸς μὲν γὰρ τοὺς ἄλλους, ἡμερωτέρα καὶ πρᾳεῖά ἐστι, καὶ παρόντων, εἰρήνην ἄγει ἡ νόσος· ἂν δέ τινα ἰατρὸν ἴδῃ, καὶ τοῦτ' ἀκούσῃ μόνον, κατ' ἐκείνου μάλιστα παροξύνεται· ὅπερ καὶ αὐτὸ τοῦτο, τοῦ πονήρως καὶ

---

§ 5. 2. Οὐ τῷ μισεῖν.) Κατ' ἔλλειψιν τῆς ἐπί. Οἷον οὐχ ὅτι ἐμίσει ἐμὲ, ἀλλ' ἐπειδὴ ἐφοβεῖτο. — 3. Πονήρως.) Ἐπὶ μὲν σώματος φαμὲν, πονήρως· ἐπὶ δὲ ψυχῆς, πονηρῶς. Πονήρως μὲν γὰρ ἔχω τοῦ σώματος, πονηρῶς δὲ διάκειμαι τὴν ψυχὴν λέγομεν. — 4. Κἀμοὶ εὐδοκιμοῦντι.) Καὶ ἐπὶ τῷ ἀνδρὶ δηλ. σωφρονήσαντι, καὶ ἐπ' ἐμοὶ δὲ εὐδοκιμοῦντι. — 5. Ἀπολογούμενος.) Ὁ πατὴρ μηδένα ἕτερον πρὸς ἀπολογίαν μένων. — 6. Εἶδον γοῦν.) Ὁ Γοῦν ἀντὶ τοῦ Γάρ. — 7. Ἡμεῖς.) Ἐγὼ δηλ. καὶ ὁ Πατήρ.

§ 6. 2. Καὶ παράλογον.) Παράλογον λέγεται τὸ παράδοξον, καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν· εἴτι δηλ. συμβαίνει ἀνελ-

ἀνηκέστως ἔχειν ἐστὶ τεκμήριον. Ταυτὶ ὁρῶν, ἐγὼ μὲν ἠνιώμην, καὶ τὴν γυναῖκα ᾤκτειρον ἀξίαν οὖσαν,[3] καὶ παρὰ τὸ προσῆκον[4] δυστυχοῦσαν.

§ 7. Ὁ πατὴρ δὲ ὑπὸ ἰδιωτείας, (οὐ γὰρ οἶδεν οὔτε ἀρχὴν τοῦ κατέχοντος κακοῦ, οὔτε τὴν αἰτίαν, οὔτε τὸ μέτρον τοῦ πάθους,) ἐκέλευεν ἰᾶσθαι, καὶ τὸ ὅμοιον ἐγχέαι φάρμακον. Ὤετο γὰρ ἓν εἶναι μανίας εἶδος, καὶ μίαν τὴν νόσον, καὶ τἀῤῥώστημα ταὐτὸν, καὶ παραπλησίαν τὴν θεραπείαν δεχόμενον. Ἐπεὶ δὲ, ὅπερ ἀληθέστατον, ἀδύνατον εἶναί φημι σώζεσθαι τὴν γυναῖκα, καὶ ἡττᾶσθαι ὑπὸ τῆς νόσου ὁμολογῶ, ἀγανακτεῖ, καὶ ὀργίζεται, καὶ φησὶν ἑκόντα καθυφίεσθαι, καὶ προδιδόναι τὴν ἄνθρωπον, ἐγκαλῶν ἐμοὶ τὴν ἀσθένειαν τῆς τέχνης.[2] Καὶ πάσχει μὲν σύνηθες τοῖς λυπουμένοις· ὀργίζονται γοῦν[3] ἅπαντες τοῖς μετὰ παῤῥησίας τἀληθῆ λέγουσι. Πλὴν ἔγωγε, ὡς ἂν οἷός τε ὦ, δικαιολογήσομαι πρὸς αὐτὸν, καὶ ὑπὲρ ἐμαυτοῦ, καὶ τῆς τέχνης.

§ 8. Καὶ πρῶτόν γε ἀπὸ τοῦ νόμου ἄρξομαι, καθ' ὃν[2] οὗτός με ἀποκηρῦξαι βούλεται, ἵν' εἰδῇ οὐκ ἔθ' ὁμοίαν οὖσαν αὐτῷ νῦν τε καὶ πρότερον τὴν ἐξουσίαν. Οὐ γὰρ ἅπασιν, ὦ πάτερ, ὁ νομοθέτης, οὐδὲ πάντας υἱέας, οὐδὲ ὁσάκις ἂν ἐθέλωσιν ἀποκηρύττειν συγκεχώρηκεν, οὐδ' ἐπὶ πάσαις αἰτίαις, ἀλλ' ὥσπερ τοῖς πατράσι τὰ τηλικαῦτα ὀργίζεσθαι ἐφῆκεν, οὕτω καὶ τῶν παίδων προὐνόησεν, ὡς μὴ ἀδίκως αὐτὸ πάσχωσι. Καὶ διὰ τοῦτο οὐκ ἐλευθέραν ἔφη γίγνεσθαι, οὐδ' ἄκριτον τὴν τιμωρίαν, ἀλλ' εἰς δικαστήριον ἐκάλεσε, καὶ δοκιμαστὰς ἐκάθησε, τοὺς μήτε πρὸς ὀργὴν, μήτε πρὸς διαβολὴν τὸ δίκαιον κρινοῦντας. Ἤδει γὰρ πολλοῖς πολλάκις ἀλόγους αἰτίας ὀργῆς παρισταμένας, καὶ τὸν μὲν ψευδεῖ τινι διαβολῇ πειθόμενον, τὸν δὲ οἰκέτῃ πιστεύοντα ἢ γυναικίῳ ἐχθρῷ. Οὔκουν ἡγεῖτο ἀδίκαστον γίγνεσθαι τὸ πρᾶγμα, οὐδ' ἐξ ἐρήμης[3] τοὺς παῖδας εὐθὺς ἁλίσκεσθαι, ἀλλὰ καὶ ὕδωρ ἐγχεῖται,[4] καὶ λόγος ἀποδίδοται,[5] καὶ ἀνεξέταστον οὐδὲν καταλείπεται.

---

πίστως καὶ παρὰ προσδοκίαν.—3. Ἀξίαν οὖσαν.) Ἐλέους καὶ οἰκτιρμοῦ. —4 Παρὰ τὸ προσῆκον.) Καθ' ὑπερβολὴν δηλ.

§ 7. 2. Τὴν ἀσθένειαν τῆς τέχνης.) Ὅπερ ἡ τέχνη οὐ δύναται, τοῦτο ὡς ἐμὸν ἁμάρτημα ἐγκαλεῖ μοι. — 3. Ὀργίζονται γοῦν. Ὁ Γοῦν ἀντὶ τοῦ Γάρ.

§ 8. 2 Καθ' ὅν.) Ἀρχόμενος ἐντεῦθεν τῶν ἐπιχειρημάτων, ἐν πρώτοις τῷ νομίμῳ ἐπιχειρεῖ, ἔνθα δείκνυσι μὴ ἐξεῖναι κατὰ νόμους δὶς ἀποκηρύττειν. — 3. Οὐδ' ἐξ ἐρήμης.) Ἐρήμη δίκη ἐστὶν ἡ μονομερής· ὅταν γίνηται ἀπόντως τοῦ διωκομένου· ὅθεν ἐξ ἐρήμης ἁλίσκεσθαι δηλ. τὸ καταδικάζεσθαι μὴ παρόντα. — 4. Καὶ ὕδωρ ἐγχεῖται.) Ἦν ἀγγεῖον τετρημένον Κλεψύδρα καλούμενον· ἐν τούτῳ ὕδωρ ἔβαλλον ἀνάλογον πρὸς τὸν χρόνον τοῦ λέγειν· καὶ ἔσω ἐχεῖτο διὰ τῆς ὀπῆς· ἔλεγεν οὖν ὁ ῥήτωρ μέχρις οὗ τὸ ὕδωρ ἦν ἐν τῇ Κλεψύδρᾳ, παύσαντος δὲ τοῦ ὕδατος, ἐχρῆν καὶ τὸν ῥήτορα παῦσαι λέγοντα· ὡς τοῦ ὡρισμένου καιροῦ ἀπολελοιπότος· καὶ ἦν ἄρα τὸ ἐγχεόμενον ἐν τῇ Κλεψύδρᾳ ὕδωρ μέτρον τοῦ χρόνου καθ' ὃν ἔδει λέγειν· τοιαῦτα δὲ ἀγγεῖα ἔστιν ἰδεῖν καὶ νῦν ἐν τοῖς πλοίοις, ἀντὶ ὕδατος ψάμμον ἔχοντα· οἷς χρῶνται οἱ ναῦται ὡρισμένους τινὰς παρ' αὐτοῖς χρόνους μετροῦντες. — 5. Καὶ ὁ λόγος ἀποδίδοται.) Καὶ ἀποκριθῆναι δίδουσι καιρόν.

ΙΩΑΝΝΙΝΑ 2006

§ 9. Ἐπεὶ τοίνυν ἔξεστι καὶ τοῦ μὲν ἐγκαλεῖν μόνου ὁ πατὴρ κύριος, τοῦ κρῖναι δὲ εἰ εὔλογα αἰτιᾶται, ὑμεῖς οἱ δικάζοντες· αὐτὸ μέν, ὅ μοι ἐπιφέρει, καὶ ἐφ' ᾧ νῦν ἀγανακτεῖ, μηδέπω σκοπεῖτε· πρότερον δ' ἐκεῖνο ἐξετάσατε, εἰ ἔτι δοτέον ἀποκηρύττειν αὐτῷ ἅπαξ ἀποκηρύξαντι, χρησαμένῳ τῇ παρὰ τοῦ νόμου ἐξουσίᾳ, καὶ ἀποπληρώσαντι τὴν πατρικὴν ταύτην δυναστείαν· εἶτ' αὖθις ἀναλαβόντι, καὶ λύσαντι τὴν ἀποκήρυξιν. Ἐγὼ μὲν γὰρ ἀδικώτατον εἶναί φημι τὸ τοιοῦτο, ἀπεράντους γίγνεσθαι καὶ τῶν παίδων τὰς τιμωρίας, καὶ πολλὰς τὰς καταδίκας, καὶ τὸν φόβον ἀΐδιον, καὶ τὸν νόμον ἄρτι μὲν συνοργίζεσθαι, μετὰ μικρὸν δὲ λύεσθαι, καὶ πάλιν ὁμοίως ἰσχυρὸν εἶναι, καὶ ὅλως, ἄνω καὶ κάτω στρέφεσθαι τὰ δίκαια, πρὸς τὸ ἐπὶ καιροῦ δοκοῦν τοῖς πατράσιν. Ἀλλὰ τὸ μὲν πρῶτον ἄξιον ἐφιέναι, καὶ ἀγανακτοῦντι συναγανακτεῖν, καὶ κύριον τῆς τιμωρίας ποιεῖν τὸν γεγεννηκότα. Ἢν δ' ἅπαξ ἀναλώσῃ τὴν ἐξουσίαν, καὶ καταχρήσηται τῷ νόμῳ, καὶ ἐμπλησθῇ τῆς ὀργῆς, εἶτα, μετὰ ταῦτα[2] ἀναλάβῃ, χρηστὸν εἶναι μεταπεισθείς, ἐπὶ τούτων ἀνάγκη μὲν μένειν, καὶ μηκέτι μεταπηδᾷν, μηδὲ μεταβουλεύεσθαι, μηδὲ μεταποιεῖν τὴν κρίσιν. Τοῦ μὲν γάρ[3] τὸν γεννηθέντα, πονηρὸν ἢ χρηστὸν ἀποβήσεσθαι, οὐδέν, οἶμαι, γνώρισμα ἦν. Καὶ διὰ τοῦτο τοὺς ἀναξίους τοῦ γένους παραιτεῖσθαι συγκεχώρηται τοῖς, ὅτε ἠγνόουν, ἀναθρεψαμένοις.

§ 10. Ὅταν δὲ μὴ κατ' ἀνάγκην, ἀλλ' ὑπὸ ἐξουσίας αὐτός τις ὑφ' ἑαυτοῦ καὶ δοκιμάσας[2] ἀναλάβῃ, τίς ἔτι μηχανὴ μεταβάλλεσθαι; ἢ τίς ἔτι χρῆσις ὑπόλοιπος τοῦ νόμου; Φαίη γὰρ ἂν πρὸς σὲ ὁ νομοθέτης. Εἰ πονηρὸς οὗτος ἦν, καὶ τοῦ ἀποκηρυχθῆναι ἄξιος, τί παθὼν ἀνεκάλεις; τί δ' αὖθις ἐπανῆγες ἐς τὴν οἰκίαν; τί δ' ἔλυες τὸν νόμον; ἐλεύθερος γὰρ ἦσθα, καὶ τοῦ μὴ ποιεῖν ταῦτα κύριος. Οὐ γὰρ δὴ ἐντρυφᾷν σοι δοτέον τοῖς νόμοις, οὐδὲ πρὸς τὰς σὰς μεταβολὰς ἀνάγεσθαι τὰ δικαστήρια, οὐδ' ἄρτι μὲν λύεσθαι, ἄρτι δὲ κυρίους εἶναι τοὺς νόμους· καὶ τοὺς δικαστὰς καθῆσθαι μάρτυρας, μᾶλλον δὲ ὑπηρέτας τῶν σοὶ δοκούντων, ὁτὲ μὲν κολάζοντας, ὁτὲ δὲ διαλλάττοντας, ὁπόταν σοι δοκῇ. Ἅπαξ γεγέννηκας, ἅπαξ ἀνατέτροφας, ἅπαξ καὶ τὸ ἀποκηρύττειν ἀντὶ τούτων ἔχεις, καὶ τότε, ἢν δικαίως αὐτὸ ποιεῖν δοκῇς· τὸ δ' ἄπαυστον τοῦτο, καὶ ἀΐδιον, καὶ πολύ, καὶ ῥᾴδιον, μεῖζον ἤδη πατρικῆς ἐστὶν ἐξουσίας.

---

§ 9. 2. Εἶτα, μετὰ ταῦτα.) Ἐκ παραλλήλου κατ' ἔμφασιν. — 3. Τοῦ μὲν γάρ.) Οἶμαι γὰρ οὐδὲν εἶναι γνώρισμα τοῦ ἀποβήσεσθαι τὸν γεννηθέντα πονηρὸν ἢ χρηστόν· ὅθεν συγκεχώρηται παρὰ τῶν νόμων τοῖς γονεῦσι παραιτεῖσθαι, ὅτε ἠγνόουν.

§ 10 2. Ὑφ' ἑαυτοῦ καὶ δοκιμάσας.) Ὅπερ ἐστὶν αὐτὸς ὑφ' ἑαυτοῦ δοκιμάσας, μηδ' ἄλλον τινὰ εἰς δοκιμὴν προτιθείς.

§ 11. Μὴ δὴ πρὸς Διὸς, ὦ ἄνδρες δικασταὶ, συγχωρήσητε αὐτῷ ἑκούσιον τὴν ἀνάληψιν πεποιημένῳ, καὶ λύσαντι τὴν γνῶσιν τοῦ πάλαι δικαστηρίου, καὶ ἀκυρώσαντι τὴν ὀργὴν, αὖθις ἐπὶ τὴν αὐτὴν τιμωρίαν ἀνακαλεῖν, καὶ ἐπὶ τὴν ἐξουσίαν τὴν πατρικὴν ἀνατρέχειν, ἧς ἔξωρος ἤδη καὶ ἕωλος ἡ προθεσμία, καὶ μόνῳ τούτῳ ἄκυρος, καὶ προδεδαπανημένη. Ὁρᾶτε γάρ που καὶ ἐν τοῖς ἄλλοις δικαστηρίοις, ὡς ἀπὸ μὲν τῶν κλήρῳ λαχόντων δικαστῶν, ἦν τις ἄδικον οἴηται γεγενῆσθαι τὴν κρίσιν, δίδωσιν ὁ νόμος εἰς ἕτερον ἐφεῖναι[2] δικαστήριον. Ἢν δέ τινες ἑκόντες αὐτοὶ συνθῶνται δικαστὰς, καὶ προελόμενοι ἐπιτρέψωσι διαιτᾷν, οὐκ ἔτι.[3] Οἷς γὰρ ἐξῆν μηδὲ τὴν ἀρχὴν ἐμμένειν, εἰ τούτους τις αὐθαίρετος εἵλετο, στέργειν ἐστὶ δίκαιος τοῖς ἐγνωσμένοις. Οὕτω δὴ καὶ σύ, ὃν ἐξῆν μηκέτ᾽ ἀναλαμβάνειν, εἰ μὴ ἂν ἄξιος[4] ἐδόκει τοῦ γένους, τοῦτον εἰ χρηστὸν ἡγησάμενος εἶναι πάλιν ἀνείληφας, οὐκ ἔτ᾽ ἀποκηρύττειν ἕξεις. Ὅτι γὰρ οὐκ ἄξιος αὖθις παθεῖν ταῦτα, ὑπ᾽ αὐτοῦ σοῦ μεμαρτύρηται, καὶ χρηστὸς ἤδη ἀνωμολόγηται. Ἀμετανόητον οὖν τὴν ἀνάληψιν, καὶ τὴν διαλλαγὴν βέβαιον εἶναι προσήκει, μετὰ κρίσιν οὕτω πολλὴν, καὶ δύο δικαστήρια, ἓν μὲν τὸ πρῶτον ἐφ᾽ οὗ παρῃτήσω, δεύτερον δὲ τὸ σὸν, ὅτε μετεβουλεύσω, καὶ ἀνάδαστον ἐποίησας τὰ πρότερον ἐγνωσμένα λύσας, βεβαιοῖς τὰ μετ᾽ ἐκεῖνα βεβουλευμένα. Μένε τοίνυν ἐπὶ τῶν τελευταίων, καὶ φύλαττε τὴν σαυτοῦ κρίσιν· πατέρα σε εἶναι δεῖ. Τοῦτο γὰρ ἔδοξέ σοι, τοῦτ᾽ ἐδοκίμασας, τοῦτ᾽ ἐκύρωσας.

§ 12. Ἐγὼ μὲν οὐδ᾽, εἰ μὴ φύσει παῖς ἦν, θέμενος δὲ,[2] ἀποκηρύττειν ἤθελες, ἐξεῖναι ἄν σοι φόμην· ὃ γὰρ τὴν ἀρχὴν μὴ ποιεῖν[3] δυνατὸν ἦν, τοῦτ᾽ ἄδικον λύειν ἅπαξ γενόμενον. Τὸν δὲ καὶ φύσει, καὶ αὖθις προαιρέσει καὶ γνώμῃ ἐσπεποιημένον, πῶς εὔλογον αὖ ἀπωθεῖσθαι, καὶ πολλάκις τῆς μιᾶς οἰκειότητος ἀποστερεῖν; Εἰ δ᾽ οἰκέτης ὢν ἐτύγχανον, καὶ τὸ μὲν πρῶτον πονηρὸν οἰόμενος, ἐπέδησας, μεταπεισθεὶς δὲ, ὡς οὐδὲν ἠδίκουν, ἐλεύθερον ἀφῆκας εἶναι, ἆρ᾽ ἄν σοι πρὸς καιρὸν ὀργισθέντι, αὖθις ἐξῆν εἰς τὴν ὁμοίαν δουλείαν ἐπανάγειν; Οὐδαμῶς. Τὰ γὰρ τοιαῦτα, βέβαια, καὶ

§ 11. 2. Ἐφεῖναι.) Ἔφεσίς ἐστιν ἡ ἀπὸ δικαστῶν εἰς ἄλλους δικαστὰς μεταγωγή· ὅθεν τὸ ἐφεῖναι, ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταγαγεῖν τὴν κρίσιν. — 3. Οὐκ ἔτι.) Ἐφεῖναι δίδωσιν ὁ νόμος. Οὐ γὰρ ἐξῆν νόμῳ διαιτητὴν εἴτ᾽ οὖν αἱρετὸν κριτὴν ἐκλέξαντα, ἐφεῖναι. — 4. Εἰμὶ ἂν ἄξιος.) Ὁ Ἂν καί τοι περιττὸς, ὅμως ἔχει τινὰ μετὰ διστανμοῦ δύναμιν.

§ 12. 2. Θέμενος δέ.) Εἴτ᾽ οὖν θετὸς ἦν υἱὸς, καὶ προσποιητός· οἱ γὰρ μὴ ἔχοντες παῖδας, ἄλλους τινὰς υἱοθέτουν, οὓς θετοὺς προσηγόρευον. Ὁ δὲ νοῦς. Ἐγὼ δὲ καὶ εἰ μὴ φύσει σὸς ἦν παῖς, ἀλλὰ θετὸν καὶ προσποιητὸν ποιήσας, ἤθελες ἀποκηρύττειν με, οὐδ᾽ οὕτως ᾤμην ἐξεῖναί σοι τοῦτο ποιεῖν. — 3. Μὴ ποιεῖν.) Σημείωσαι ὅτι ἐν ἐνίοις ἐλλείπει τὸ Μὴ, καὶ ὁ νοῦς οὐκ εὐοδοῦται.

ΙΩΑΝΝΙΝΑ 2006

διαπαντὸς κύρια ὑπάρχειν οἱ νόμοι ἀξιοῦσιν. Ὑπὲρ μὲν οὖν τοῦ μηκέτι ἐξεῖναι τούτῳ ἀποκηρύττειν, ὃν ἅπαξ ἀποκηρύξας ἑκὼν ἀνέλαβεν, ἔτι πολλὰ εἰπεῖν ἔχων, ὅμως παύσομαι.

§ 13. Σκέψασθαι δὲ ἤδη οἷον ὄντα καὶ ἀποκηρύξει με[2] καὶ οὐδέπω τοῦτό φημι, ὡς τότε μὲν ἰδιώτην, νῦν δ' ἰατρόν. Οὐδὲν γὰρ ἂν πρὸς τοῦτο ἡ τέχνη συναγωνίσαιτο, οὐδ' ὅτι τότε μὲν νέον, νῦν δὲ ἤδη καὶ προβεβηκότα, καὶ τὸ πιστὸν, τοῦ μηδὲν ἀδικῆσαι ἂν, παρὰ τῆς ἡλικίας ἔχοντα· μικρὸν γὰρ ἴσως καὶ τοῦτο. Ἀλλὰ τότε μὲν, εἰ καὶ μηδὲν ἠδικημένος, ὡς ἂν ἔγωγε φαίην, ἀλλ' οὐδ' εὖ πεπονθὼς, παρῃτεῖτο τῆς οἰκίας· νῦν δὲ[3] σωτῆρα ἔναγχος, καὶ εὐεργέτην γεγενημένον. Οὗ τί γένοιτ' ἂν ἀχαριστότερον; σωθέντα δι' ἐμὲ, καὶ τηλικοῦτον κίνδυνον διαπεφευγότα, τοῖς τοιούτοις εὐθὺς ἀμείβεσθαι, τῆς θεραπείας ἐκείνης οὐδ' ἕνα λόγον ἔχοντα, ἀλλ' οὕτω ῥᾳδίως ἐπιλελῆσθαι, καὶ ἐπὶ τὴν ἐρημίαν ἐλαύνειν, τὸν ἐφησθέντ' ἂν[4] δικαίως, ἐφ' οἷς ἀδίκως ἐξεβέβλητο, μὴ μόνον δ' οὐ μνησικακήσαντα, ἀλλὰ καὶ σώσαντα, καὶ σωφρονεῖν παρασκευάσαντα;

§ 14. Οὐ γὰρ μικρὸν, ὦ ἄνδρες δικασταὶ, οὐδὲ τὸ τυχὸν εὖ πεποιηκὼς αὐτὸν, ὅμως τῶν τοιούτων νῦν ἀξιοῦμαι. Ἀλλ' εἰ καὶ οὗτος ἀγνοεῖ τὰ τότε, πάντες ὑμεῖς ἴστε οἷα ποιοῦντα αὐτὸν, καὶ πάσχοντα, καὶ ὅπως διακείμενον, ἐγὼ παραλαβὼν, τῶν μὲν ἄλλων ἰατρῶν ἀπεγνωκότων, τῶν δ' οἰκείων φευγόντων, καὶ μηδὲ πλησίον προσιέναι τολμώντων, τοιοῦτον ἀπέφηνα, ὡς καὶ κατηγορεῖν δύνασθαι, καὶ περὶ τῶν νόμων διαλέγεσθαι. Μᾶλλον δὲ ὁρᾷς, ὦ πάτερ, τὸ παράδειγμα, τοιοῦτον ὄντα σε παρ' ὀλίγον, οἵα νῦν ἡ γυνή ἐστι, πρὸς τὴν ἀρχαίαν φρόνησιν ἐπανήγαγον. Οὐ δίκαιον οὖν τοιαύτην μοι γενέσθαι ἀντ' ἐκείνων τὴν ἀμοιβὴν, οὐδὲ κατ' ἐμοῦ σε[2] μόνου σωφρονεῖν. Ὅτι γὰρ μὴ μικρὰ ὑπ' ἐμοῦ εὐηργέτησαι, καὶ ἀπ' αὐτῶν ὧν ἐγκαλεῖς, δῆλόν ἐστιν. Ὃν γὰρ, ὡς ἐν ἐσχάτοις οὖσαν τὴν γυναῖκα, καὶ παμπονήρως ἔχουσαν, οὐκ ἰώμενον, μισεῖς, πῶς οὐ πολὺ μᾶλλον, ὅτι σε τῶν ὁμοίων ἀπήλλαξα, καὶ ὑπεραγαπᾷς, καὶ χάριν ὁμολογεῖς, τῶν οὕτω δεινῶν ἀπηλλαγμένος; Σὺ δὲ, ὅπερ ἀγνωμονέστατον, σωφρονήσας, εὐθὺς ἐς δικαστήριον ἄγεις, καὶ σεσωσμένος κολάζεις, καὶ ἐπὶ τὸ ἀρχαῖον ἐκεῖνο μῖσος ἀνατρέχεις, καὶ τὸν αὐτὸν ἀναγιγνώσκεις

§ 13. 2. **Καὶ** ἀποκηρύξει με.) Ὁ **Καὶ οὐ παρέλκει, ἀλλ' ἔμφασιν ἔχει ἐναντιωματικήν· οἷον· Σκέψασθαι δὲ ἤδη ὅτι καὶ οἷον ὄντα, ὅμως ἀποκηρύξει με.** — 3. Νῦν δέ.) Παραιτεῖται τῆς οἰκίας. — 4. Τὸν ἐφησθέντ' ἄν.) Ἐμὲ δηλ. ὅστις ἠδυνάμην δικαίως ἡσθῆναι ἐπ' αὐτῷ μαινομένῳ, διότι ἀδίκως ἐξεβλήθην, ἀλλ' ὅμως οὐ μόνον οὐκ ἐμνησικάκησα, ἀλλὰ καὶ ἔσωσα, σώφρονα ἀποκαταστήσας.

§ 14. 2. Οὐδὲ κατ' ἐμοῦ σε.) Οὐ γενέσθαι σώφρονα μόνον ἵνα κατ' ἐμοῦ

νόμον. Καλὸν γοῦν τὸν μισθὸν ἀποδίδως τῇ τέχνῃ, καὶ ἀξίας ἀμοιβὰς τῶν φαρμάκων, ἐπὶ τὸν ἰατρὸν[3] ὑγιαίνων μόνον.

§ 15. Ὑμεῖς δὲ, ὦ ἄνδρες δικασταὶ, τὸν εὐεργέτην τούτῳ κολάζειν ἐπιτρέψετε, καὶ τὸν σώσαντα ἐξελαύνειν, καὶ τὸν σωφρονήσαντα μισεῖν, καὶ τὸν ἀναστήσαντα τιμωρεῖσθαι; Οὐκ,[2] ἤν γε τὰ δίκαια ποιῆτε. Καὶ γὰρ, εἰ τὰ μέγιστα νῦν ἁμαρτάνων ἐτύγχανον, ἦν μοί τις οὐ μικρὰ προοφειλομένη χάρις, ἐς ἣν ἀποβλέποντα τοῦτον, καὶ ἧς μεμνημένον, καλῶς εἶχε, τῶν μὲν παρόντων καταφρονεῖν, δι' ἐκεῖνα δὲ πρόχειρον τὴν συγγνώμην ἔχειν· καὶ μάλιστα, εἰ τηλικαύτη τις ἡ εὐεργεσία τυγχάνει, ὡς πάντα ὑπερπαίειν τὰ μετὰ ταῦτα. Ὅπερ οἶμαι κἀμοὶ πρὸς τοῦτον ὑπάρχειν, ὃν ἔσωσα, καὶ ὃς τοῦ βίου παντὸς χρεώστης ἐστί μοι, καὶ ᾧ τὸ εἶναι, καὶ τὸ σωφρονεῖν, καὶ τὸ συνιέναι παρέσχημαι, καὶ μάλιστα, ὅτε οἱ ἄλλοι πάντες ἤδη ἀπεγνώκεσαν, καὶ ἥττους εἶναι ὡμολόγουν τῆς νόσου.

§ 16. Τοῦτο γὰρ μείζονα οἶμαι ποιεῖν τὴν ἐμὴν εὐεργεσίαν, ὡς οὔτε υἱὸς ὢν τότε, οὔτε ἀναγκαίαν τῆς θεραπείας ἔχων αἰτίαν, ἀλλ' ἐλεύθερος καθεστὼς, καὶ ἀλλότριος, τῆς φυσικῆς αἰτίας ἀφειμένος, ὅμως οὐ περιεῖδον, ἀλλ' ἐθελοντὴς, ἄκλητος, αὐτεπάγγελτος, ἧκον, ἐβοήθησα, προσελιπάρησα, ἰασάμην, ἀνέστησα, καὶ τὸν πατέρα ἐμαυτοῦ διεφύλαξα, καὶ ὑπὲρ τῆς ἀποκηρύξεως ἀπελογησάμην, καὶ τῇ εὐνοίᾳ τὴν ὀργὴν ἔπαυσα, καὶ τὸν νόμον ἔλυσα τῇ φιλοστοργίᾳ, καὶ μεγάλης εὐεργεσίας τὴν ἐς τὸ γένος ἐπάνοδον ἐπριάμην, καὶ ἐν οὕτως ἐπισφαλεῖ καιρῷ τὴν πρὸς τὸν πατέρα πίστιν ἐπεδειξάμην, καὶ μετὰ τῆς τέχνης ἐμαυτὸν εἰσεποίησα, καὶ γνήσιος υἱὸς ἐν τοῖς δεινοῖς ἀνεφάνην. Πόσα γὰρ οἴεσθε παθεῖν με, πόσα καμεῖν, παρόντα, ὑπηρετοῦντα, καιροφυλακτοῦντα· νῦν μὲν, εἴκοντα τῇ τοῦ πατρὸς ἀκμῇ·[2] νῦν δὲ, τὴν τέχνην ἐπάγοντα, πρὸς ὀλίγον ἐνδιδόντος τοῦ κακοῦ, ἔστι δὲ τῶν ὄντων ἁπάντων τούτων ἐν τῇ ἰατρικῇ τὸ ἐπισφαλέστατον, τοὺς τοιούτους ἰᾶσθαι, καὶ πλησιάζειν οὕτω διακειμένοις. Ἐς γὰρ τοὺς πλησίον πολλάκις ἀφιᾶσι τὴν λύτταν, ἐπιζέσαντος τοῦ πάθους. Καὶ ὅμως[3] πρὸς οὐδὲν τούτων ἀπώκνησα, οὐδ' ἀπεδειλίασα· συνὼν δὲ, καὶ πάντα τρόπον ἀντεξεταζόμενος τῇ νόσῳ, τὸ τελευταῖον ἐκράτησα τῷ φαρμάκῳ.

§ 17. Μὴ γὰρ τοῦτ' ἀκούσας, εὐθέως ὑπολάβῃ τις, ποῖος δὲ

---

φέρῃ. — 3. Ἐπὶ τὸν ἰατρόν.) Κατὰ τοῦ ἰατροῦ δηλ. μόνου σωφρονῶν.

§ 15. 2. Οὐκ.) Ἐπιτρέψετε· καὶ τλ.

§ 16. 2. Τῇ τοῦ πατρὸς ἀκμῇ.) Τῇ κατὰ τοῦ πάθους δηλ. — 3. Καὶ ὅμως.) Τούτων δηλ. τοιούτων ὄντων, ἐγὼ ὅμως πρὸς οὐδὲν. καὶ τλ.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Φ.Α. ΤΠ. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἢ πόσος ὁ κάματος ἐγχέαι φάρμακον; Πολλὰ γὰρ πρὸ τούτου γενέσθαι δεῖ, καὶ προοδοποιῆσαι τῇ πόσει, καὶ προπαρασκευάσαι ῥάδιον ἐς ἴασιν τὸ σῶμα, καὶ τῆς ἁπάσης ἕξεως φροντίσαι, κενοῦντα, καὶ ἰσχναίνοντα, καὶ οἷς χρὴ τρέφοντα, καὶ κινοῦντα ἐς ὅσον χρήσιμον, καὶ ὕπνους ἐπινοοῦντα, καὶ ἠρεμίας μηχανώμενον, ἅπερ οἱ μὲν ἄλλο τι νοσοῦντες, ῥᾳδίως πεισθεῖεν ἄν· οἱ μεμηνότες δὲ, διὰ τὴν ἐλευθερίαν τοῦ νοῦ, δυσάγωγοι, καὶ δυσηνιόχητοι, καὶ τῷ ἰατρῷ ἐπισφαλεῖς, καὶ τῇ θεραπείᾳ δυσκαταγώνιστοι. Ὅταν γοῦν πολλάκις ποιήσωμεν,[2] ἤδη πλησίον γενέσθαι τοῦ τέλους, καὶ ἐλπίσωμεν, ἐμπεσόν τι μικρὸν ἁμάρτημα, ἐπακμάσαντος τοῦ πάθους, ἅπαντα ῥᾳδίως ἐκεῖνα ἀνέτρεψε,[3] καὶ ἀνεπόδισε τὴν θεραπείαν, καὶ τὴν τέχνην διέσφηλε.

§ 18. Τὸν οὖν ταῦτα πάνθ' ὑπομεμενηκότα, καὶ οὕτω χαλεπῷ νοσήματι προσπαλαίσαντα, καὶ πάθος ἁπάντων παθῶν τὸ δυσαλωτότατον νενικηκότα, ἔτι τούτῳ ἀποκηρύττειν ἐπιτρέψετε, καὶ τοὺς νόμους, ὡς βούλεται, ἑρμηνεύειν κατ' εὐεργέτου συγχωρήσετε, καὶ τῇ φύσῃ πολεμεῖν αὐτὸν ἐάσετε; Ἐγὼ τῇ φύσει πειθόμενος, σώζω καὶ διαφυλάττω, ὦ ἄνδρες δικασταὶ, τὸν πατέρα ἐμαυτῷ, κἂν ἀδικῇ οὗτος. Εἰ δὲ τὸν εὐεργετηκότα παῖδα τοῖς νόμοις, ὥς φησιν, ἀκολουθῶν διαφθείρει, καὶ τοῦ γένους ἀποστερεῖ, μισόπαις οὗτος,[2] ἐγὼ φιλοπάτωρ γίγνομαι· ἐγὼ τὴν φύσιν ἀσπάζομαι, οὗτος τὰ τῆς φύσεως παρορᾷ, καὶ καθυβρίζει [δίκαια.] Ὢ πατρὸς, μισοῦντος ἀδίκως· ὢ παιδὸς, φιλοῦντος ἀδικώτερον. Ἐγκαλῶ γὰρ ἐμαυτῷ, τοῦ πατρὸς ἀναγκάζοντος, ὅτι μισούμενος, οὐ δέον[3] φιλῶ, καὶ φιλῶ πλέον ἢ προσῆκε. Καί τοι γε ἡ φύσις τοῖς πατράσι τοὺς παῖδας μᾶλλον, ἢ τοῖς παισὶ τοὺς πατέρας ἐπιτάττει φιλεῖν. Ἀλλ' οὗτος ἑκὼν καὶ τοὺς νόμους παρορᾷ οἳ τοὺς οὐδὲν ἠδικηκότας παῖδας τῷ γένει φυλάττουσι, καὶ τὴν φύσιν, ἣ τοὺς γεννήσαντας ἕλκει πρὸς πόθον τῶν γεγεννημένων πολὺν, οὐχ ὅπως[4] μείζους ἀρχὰς εὐνοίας ἔχων πρὸς ἐμὲ, μείζονα τὰ δίκαιά μοι τῆς εὐνοίας ἐσφέρει, καὶ ἐπιδίδωσιν· ἢ, τό γε ἔλαττον, ἐμὲ μιμεῖται, καὶ ζηλοῖ τοῦ φίλτρου. Ἀλλ', οἴμοι τῆς συμφορᾶς, προσέτι καὶ μισεῖ φιλοῦντα, καὶ ἀγαπῶντα ἐλαύνει, καὶ εὐεργετοῦντα ἀδικεῖ, καὶ ἀσπαζόμενον ἀποκηρύττει, καὶ τοὺς φι-

---

§ 17. 2. Ποιήσωμεν.) Ὅταν γὰρ πολλάκις κατορθώσωμεν, ὥστε πλησίον τοῦ τελείας εἶναι ἰάσεως, καὶ ἐλπίδας καὶ τλ. — 3. Ἀνέτρεψε) Ὁ ἀντιχρονισμὸς διὰ τὸ βέβαιον.

§ 18. 2. Μισόπαις οὗτος.) Τὸ σχῆμα χιαστόν· οἷον.

μισόπαις οὗτος, ἐγὼ φιλοπάτωρ γίνομαι·
ἐγὼ τὴν φύσιν ἀσπάζομαι. X οὗτος τὰ τῆς φύσεως παρορᾷ, καὶ καθυβρίζει δίκαια.

— 3. Οὐ δέον.) Ἀπρόσωπος μετοχὴ ἀπολύτως. — 4. Οὐχ ὅπως.) Οὐ μόνον

λόπαιδας νόμους, ὡς μισόπαιδας κατ' ἐμοῦ μεταχειρίζεται. Ὦ μάχης, ἣν ἐσάγεις πάτερ τοῖς νόμοις κατὰ τῆς φύσεως.

§ 19. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν ὡς θέλεις· κακῶς ἑρμηνεύεις, ὦ πάτερ, καλῶς κειμένους τοὺς νόμους. Οὐ πολεμεῖ φύσις καὶ νόμος ἐν ταῖς εὐνοίαις· ἀκολουθοῦσιν ἀλλήλοις ἐνταῦθα, καὶ συναγωνίζονται τῇ λύσει τῶν ἀδικημάτων. Ὑβρίζεις τὸν εὐεργέτην, ἀδικεῖς τὴν φύσιν. Τί καὶ τοὺς νόμους συναδικεῖς τῇ φύσει; οὓς καλοὺς καὶ δικαίους καὶ φιλόπαιδας εἶναι θέλοντας οὐ συγχωρεῖς, καθ' ἑνὸς παιδὸς ὡς κατὰ πολλῶν κινῶν πολλάκις, καὶ ἡσυχάζειν οὐκ ἐῶν ἐν ταῖς τιμωρίαις, τοὺς ἐν ταῖς τῶν παίδων πρὸς τοὺς πατέρας εὐνοίαις ἡσυχάζειν ἐθέλοντας· καὶ τοιγε[2] ἐπὶ τοῖς μηδὲν ἡμαρτηκόσι, μηδὲ κειμένους. Καὶ μὴν οἵγε νόμοι καὶ ἀχαριστίας δικάζεσθαι διδόασι, κατὰ τῶν τοὺς εὐεργέτας μὴ ἀντευποιούντων.[3] Ὁ δὲ[4] πρὸς τῷ μὴ ἀμείβεσθαι, καὶ ἐπ' αὐτοῖς οἷς εὖ πέπονθε κολάζειν ἀξιῶν, σκέψασθε εἴ τινα ὑπερβολὴν ἀδικίας ἀπολέλοιπεν. Ὡς μὲν οὖν οὔτε ἀποκυρύττειν ἔτι τούτῳ ἔξεστιν, ἅπαξ ἤδη τὴν πατρικὴν ἐξουσίαν ἀποπληρώσαντι, καὶ χρησαμένῳ τοῖς νόμοις, οὔτε ἄλλως δίκαιον, εὐεργέτην εἰς τὰ τηλικαῦτα γεγενημένον ἀπωθεῖσθαι, καὶ τῆς οἰκίας παραιτεῖσθαι, ἱκανῶς, οἶμαι, δέδεικται.

§ 20. Ἤδη δὲ καὶ ἐπ' αὐτὴν τὴν αἰτίαν ἔλθωμεν τῆς ἀποκηρύξεως, καὶ τὸ ἔγκλημα ἐξετάσωμεν ὁποῖόν ἐστιν. Ἀνάγκη δὲ αὖθις ἐπὶ τὴν γνώμην ἀναδραμεῖν τοῦ νομοθέτου. Ἵνα γάρ σοι τοῦτο πρὸς ὀλίγον δῶμεν, τὸ ἐξεῖναι[2] ὁσάκις ἂν ἐθέλῃς ἀποκηρύττειν, καὶ κατάγε τοῦ εὐεργέτου προσέτι τὴν ἐξουσίαν ταύτην συγχωρήσωμεν, οὐχ ἁπλῶς, οἶμαι, οὐδ' ἐπὶ πάσαις αἰτίαις ἀποκηρύξεις· οὐ δὲ τοῦθ' ὁ νομοθέτης φησίν, ὅ,τι ἂν τύχῃ ὁ πατὴρ αἰτιασάμενος, ἀποκηρυττέτω, καὶ ἀπόχρη θελῆσαι μόνον, καὶ μέμψασθαι. Τί γὰρ ἂν ἔδει δικαστηρίου; Ἀλλ' ὑμᾶς ποιεῖ τοῦτο, ὦ ἄνδρες δικασταί, σκοπεῖν, εἴτ' ἐπὶ μεγάλοις καὶ δικαίοις ὁ πατὴρ ὀργίζεται, εἴτε καὶ μή. Οὐκοῦν τοῦτο ἤδη ἐξετάσατε. Ἄρξομαι δὲ ἀπὸ τῶν μετὰ τὴν μανίαν εὐθύς.

§ 21. Τὰ μὲν δὴ πρῶτα τῆς σωφροσύνης τοῦ πατρὸς, λύσις ἦν

---

δηλ. οὐκ εἰσφέρει καὶ ἐπεδίδωσιν· ἀλλὰ καὶ μισεῖ καὶ τλ. Ὁ δὲ τοιοῦτος τοῦ λέγειν τρόπος συνήθης· καὶ γὰρ καὶ Θουκυδ. Γ'. μθ'. Χρὴ δὲ . . . τὸν τυχόντα γνώμης οὐχ' ὅπως ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν.

§ 19. 2. Καί τοι γε.) Ἀντὶ Μάλιστα δέ. — 3. Μὴ ἀντευποιούντων.) Ὅτι νόμος ἦν κατὰ ἀχαρίστων, καὶ Ξενοφῶν λέγει. Κύρου Παιδίας. Α'. β'. 7. — 4. Ὁ δέ.) Πατὴρ δηλ. οὐ μόνον οὐκ ἀμείβεται, οὐ δ' ἀντευποιεῖ εὐεργετηθεὶς ὑπ' ἐμοῦ, ἀλλὰ καὶ κολάζειν ἐφ' οἷς εὐεργετήθη ἀξιοῖ, καὶ ὥς ἐστιν ὑμῖν μετὰ σκέψεως κρίνειν, πᾶσαν ὑπερβολὴν ἀδικίας κατ' ἐμοῦ μεταχειρίζεται.

§ 20. 2. Τὸ ἐξεῖναι.) Ἐπεξήγησις τοῦ, Τοῦτο.

ΙΩΑΝΝΙΝΑ 2006

τῆς ἀποκηρύξεως, καὶ σωτὴρ, καὶ εὐεργέτης, καὶ πάντα ἦν ἐγώ. Καὶ οὐδὲν, οἶμαι, τούτοις ἔγκλημα, προσεῖναι ἠδύνατο. Τὰ μετὰ ταῦτα δὲ,[2] τί τῶν πάντων αἰτιᾷ; τίνα θεραπείαν, τίνα ἐπιμέλειαν υἱοῦ παρῆκα; πότε ἀπόκοιτος ἐγενόμην; τίνας πότους ἀκαίρους, τίνας κώμους ἐγκαλεῖς; τίς ἀσωτεία; τίς πορνοβοσκὸς ὕβρισται; τίς ᾐτιάσατο; Οὐδὲ εἷς. Καὶ μὴν ταῦτά ἐστιν, ἐφ' οἷς μάλιστα ὁ νόμος ἀποκηρύττειν ἐφίησιν. Ἀλλὰ νοσεῖν ἤρξατο ἡ μητρυιά· τί οὖν; Ἐμοὶ τοῦτ' ἐγκαλεῖς, καὶ νόσου δίκην ἀπαιτεῖς;

§ 22. Οὔ, φησιν.[2] Ἀλλὰ τί;[3] Ὅτι θεραπεύειν προσταττόμενος, οὐ θέλεις, καὶ διὰ τοῦτ' ἂν ἄξιος εἴης ἀποκηρύξεως, ἀπειθῶν τῷ πατρί. Ἐγὼ δὲ τὸ μὲν οἷα προστάττοντι αὐτῷ, ὑπακούειν οὐ δυνάμενος, ἀπειθεῖν δοκῶ, πρὸς ὀλίγον ὑπερθήσομαι. Πρότερον δ' ἁπλῶς ἐκεῖνό φημι, ὡς οὐ πάντα προστάττειν οὔτε τούτῳ δίδωσιν ὁ νόμος, οὔτ' ἐμοὶ τὸ πείθεσθαι πᾶσι πάντως ἀναγκαῖον. Ἐν δ' οὖν τοῖς τῶν προσταγμάτων[4] τὰ μὲν ἀνεύθυνά ἐστι, τὰ δ' ὀργῆς, καὶ τιμωρίας ἄξια· ἐὰν νοσῇς[5] αὐτὸς, ἐγὼ δὲ ἀμελῶ· ἐὰν τῶν κατ' οἶκον ἐπιμελεῖσθαι κελεύεις, ἐγὼ δὲ ὀλιγωρῶ· ἐὰν τὰ κατ' ἀγρὸν ἐπισκοπεῖν προστάττῃς, ἐγὼ δὲ ὀκνῶ. Πάντα ταῦτα, καὶ τὰ τοιαῦτα εὐλόγους ἔχει τὰς προφάσεις, καὶ τὰς μέμψεις πατρικάς· τὰ δ' ἄλλα ἐφ' ἡμῖν ἐστι τοῖς παισὶν, ὄντα τῶν τεχνῶν, καὶ τῆς τούτων χρήσεως, καὶ μάλιστα εἰ μηδὲν αὐτὸς ὁ πατὴρ ἀδικοῖτο. Ἐπεί τοι ἂν τῷ γραφεῖ πατὴρ προστάττῃ, ταῦτα μὲν τέκνον γράφε, ταυτὶ δὲ μή· καὶ τῷ μουσικῷ, τὴν δὲ μὲν τὴν ἁρμονίαν κροῦε, τὴν δὲ δὲ μή· καὶ τῷ χαλκεύοντι, τοιαῦτα μὲν χάλκευε, τοιαῦτα δὲ μή· ἆρα ἄν τις ἀνάσχοιτο ἀποκηρύττοντα,[6] ὅτι μὴ κατὰ τὰ ἐκείνῳ δοκοῦντα ὁ παῖς χρῆται τῇ τέχνῃ; Οὐδὲ εἷς, οἶμαι.

§ 23. Τὸ δὲ τῆς ἰατρικῆς,[2] ὅσῳ σεμνότερόν ἐστι, καὶ τῷ βίῳ χρησιμώτερον, τοσούτῳ καὶ ἐλευθεριώτερον εἶναι προσήκει τοῖς χρωμένοις, καί τινα προνομείαν[3] ἔχειν τὴν τέχνην δίκαιον τῇ ἐξουσίᾳ τῆς χρήσεως· ἀναγκάζεσθαι δὲ μηδὲν, μηδὲ προστάττεσθαι,

§ 21. 2. Τὰ μετὰ ταῦτα δὲ.) Ἀντὶ, Ἔπειτα δὲ τί, καὶ τλ. Βουλόμενος γὰρ εἰπεῖν, Τὰ μετὰ ταῦτα δὲ οἷα ἦν ἤ τι τοιοῦτο, μετέβαλε τὴν σύνταξιν, ἀπὸ τοῦ πάθους κινούμενος, καὶ πρὸς τὸν πατέρα δευτεροπροσώπως λαλεῖ· ὅ,τι προείρηκεν οἷον ἐπιλαθόμενος· συμβαίνει γὰρ πολλὰ τοιαῦτα ἐν τῷ λέγειν· ἃ δὴ ὡς κατὰ φύσιν ὄντα μιμοῦνται καὶ οἱ γράφοντες.

§ 22. 2. Οὔ, φησίν.) Οὐκ ἀπαιτῶ, φησὶ, νόσου δίκην. — 3. Ἀλλὰ τί.) Ἀπαιτεῖς. — 4. Ἐν δ' οὖν τοῖς τῶν προσταγμάτων.) Ἀντὶ ἁπλῶς. Τῶν δ' οὖν προσταγμάτων, καὶ ἔστι τὸ Ἐν τοῖς, κατὰ παρολκὴν, Ἀττικῶς· ὡς γὰρ φασὶ Τὰ τῆς τύχης, Τὰ τῶν Μουσῶν· ἀντὶ Ἡ τύχη, αἱ Μοῦσαι· οὕτω καὶ Τὰ τῶν προσταγμάτων καὶ προθετοπτώτως Ἐν τοῖς τῶν προσταγμάτων. — 5. Ἐὰν νοσῇς.) Ταῦτα κατ' ἐπεξήγησιν λέγεται. — 6. Ἀποκηρύττοντα.) Τὸν πατέρα δηλαδή.

§ 23. 2. Τὸ δὲ τῆς ἰατρικῆς.) Χρῆμα δηλ. ἢ Ἡ δὲ ἰατρική. — 3. Προνομείαν.) Ὀφειλόμενα δηλ. αὐτῇ διὰ τὸ

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πρᾶγμα ἱερὸν, καὶ θεῶν παίδευμα, καὶ ἀνθρώπων σοφῶν ἐπιτήδευμα· μήθ᾽ ὑπὸ δουλείαν γενέσθαι[4] νόμου, μήθ᾽ ὑπὸ φόβον, καὶ τιμωρίαν δικαστηρίου, μήθ᾽ ὑπὸ ψῆφον, καὶ πατρὸς ἀπειλὴν, καὶ ὀργὴν ἰδιωτικήν. Ὥστε καὶ εἰ τοῦτό σοι σαφῶς οὑτωσὶ καὶ διαῤῥήδην ἔλεγον· »Οὐ βούλομαι, οὐδὲ θεραπεύω δυνάμενος, ἀλλ᾽ ἐμαυτῷ μόνῳ τὴν τέχνην οἶδα, καὶ τῷ πατρὶ, τοῖς δ᾽ ἄλλοις ἅπασιν ἰδιώτης εἶναι βούλομαι·« τίς τύραννος οὕτω βίαιος, ὡς ἀναγκάσαι ἂν καὶ ἄκοντα χρῆσθαι τῇ τέχνῃ; Τὰ γὰρ τοιαῦτα, ἱκετείαις καὶ δεήσεσιν, οὐ νόμοις καὶ ὀργαῖς καὶ δικαστηρίοις ὑπάγειν, οἶμαι, προσήκει· πείθεσθαι τὸν ἰατρὸν χρὴ, οὐ κελεύεσθαι, βούλεσθαι, οὐ φοβεῖσθαι, ἐπὶ τὴν θεραπείαν οὐκ ἄγεσθαι, ἑκόντα δὲ ἐρχόμενον ἥδεσθαι· πατρικῆς δὲ ἀνάγκης ἄμοιρος, ἀτελὴς ἡ τέχνη, ὅπου γε τοῖς ἰατροῖς καὶ δημοσίᾳ αἱ πόλεις τιμὰς, καὶ προεδρίας, καὶ ἀτελείας, καὶ προνομείας διδόασι.

§ 24. Ταῦτα μὲν οὖν ἁπλῶς ἂν εἶχον εἰπεῖν ὑπὲρ τῆς τέχνης, εἰ καὶ σοῦ διδαξαμένου με, καὶ πολλὰ ἐπιμεληθέντος, καὶ ἀναλώσαντος, ὡς μάθοιμι, πρὸς μίαν ὅμως θεραπείαν, καὶ ταύτην δυνατὴν οὖσαν, ἀντέλεγον. Νυνὶ δὲ κἀκεῖνο ἐννόησον, ὡς παντάπασιν ἀγνώμον ποιεῖς, οὐκ ἐῶν με χρῆσθαι μετ᾽ ἐλευθερίας ἐμῷ κτήματι. Ταύτην ἐγὼ τὴν τέχνην οὐχ υἱὸς ὢν σὸς ἐξέμαθον, οὐδὲ τῷ νόμῳ ὑποκείμενος, καὶ ὅμως αὐτὴν μεμάθηκά σοι,[2] καὶ πρῶτος[3] αὐτῆς ἀπολέλαυκας, οὐδὲν παρὰ σοῦ πρὸς τὸ μαθεῖν ἔχων. Τίνα διδάσκαλον ἐμισθώσω; τίνα φαρμάκων παρασκευήν; Οὐδ᾽ ἡντιναοῦν· ἀλλὰ πενόμενος ἐγὼ, καὶ τῶν ἀναγκαίων ἀπορούμενος, καὶ ὑπὸ τῶν διδασκάλων ἐλεούμενος, ἐπαιδευόμην. Καί μοι[4] τοιαῦτα παρὰ τοῦ πατρὸς ἦν πρὸς τὸ μαθεῖν ἐφόδια, λύπη, καὶ ἐρημία, καὶ ἀπορία, καὶ μῖσος οἰκείων, καὶ ἀποστροφὴ συγγενῶν. Ἀντὶ τούτων τοίνυν χρῆσθαί μου τῇ τέχνῃ ἀξιοῖς, καὶ δεσπότης εἶναι θέλεις τῶν ὅτ᾽ οὐκ ἦσθα δεσπότης πεπορισμένων. Ἀγάπα,[5] εἴ τι σε καὶ πρότερον ἑκὼν οὐ προοφείλων εὖ ἐποίησα, μηδεμίαν, μηδὲ τοῦ γε, χάριν ἀπαιτεῖσθαι δυνάμενος.[6]

---

ἀξίωμα. — 4. Γενέσθαι.) Τὸ μὲν Ἀναγκάζεσθαι κατ᾽ ἐνεστῶτα κατὰ παράτασιν χρόνου, τὸ δὲ γενέσθαι ἀόριστον, ὡς ἅπαξ ἔστι γενέσθαι ὑπὸ δουλείαν νόμου, οὐ πολλάκις. Τὸ δέ τοι Γενέσθαι καὶ ἐν τοῖς ἑξῆς ὑπακούεται.

§ 24. 2. Μεμάθηκά σοι.) Ὑπὲρ σοῦ δηλ. τοῦτο γὰρ βούλεται τὸ Σοί. — 3. Καὶ πρῶτος.) Ἐπεξήγησίς ἐστι τοῦ Σοί· καὶ ὁ Καὶ αἰτιολογικός· ἵν᾽ ᾖ τὸ ὅλον. Καὶ ὅμως αὐτὴν μεμάθηκά σοι· καὶ γὰρ πρῶτος αὐτῆς ἀπολέλαυκας, οὐδὲν καὶ τλ. καὶ ἡ μετοχὴ Ἔχων, φέρεται πρὸς τὸ Μεμάθηκα· καὶ τὸ Καὶ, πρῶτος αὐτῆς ἀπολέλαυκας, κατὰ παρένθεσιν. — 4. Καί μοι.) Ἀπὸ δὲ μέρους τοῦ πατρὸς ταῦτα ἦν μοι τὰ ἐφόδια· δηλ. λύπη καὶ τλ. — 5. Ἀγάπα.) Τὸ παρ᾽ ἡμῖν Εὐχαριστήθητι· μένε εὐχαριστημένος καὶ εἰς τοῦτο, εἴ τι σὲ εὖ ἐποίησα ἑκὼν πρότερον, οὐ προοφείλων. — 6. Δυνάμενος.) Καὶ οὐ δύναμαι ἀπαιτεῖν παρὰ σοῦ μηδεμίαν χάριν μηδὲ τούτου γε.

Ε.Ψ.Δ.Π.Κ.Τ.Γ. ΙΩΑΝΝΙΝΑ 2006

§ 25. Οὐ δὴ δεῖ τὴν εὐποιΐαν τὴν ἐμὴν, ἀνάγκην εἰς τὸ λοιπόν μοι γενέσθαι, οὐδὲ τὸ, ἑκόντα εὐεργετῆσαι, ἀφορμὴν τοῦ ἄκοντα κελεύεσθαι καταστῆναι, οὐδ᾽ ἔθος ὑπάρξαι τοῦτο, τὸ ἅπαξ τινὰ ἰασάμενον, πάντας ἐς ἀεὶ θεραπεύειν, ὁπόσους ἂν ὁ θεραπευθεὶς θέλει· ἐπεὶ δεσπότας ἂν οὕτω καθ᾽ ἡμῶν εἴημεν τοὺς θεραπευομένους κεχειροτονηκότες, καὶ μισθὸν τὸ δουλεύειν αὐτοῖς, καὶ τὸ πάντα κελεύουσιν ὑπηρετεῖν προδεδωκότες.[2] οὗ τί γένοιτ᾽ ἂν ἀδικώτερον; Διότι σε νοσήσαντα χαλεπῶς οὕτως ἀνέστησα, διὰ τοῦτο νομίζεις ἐξεῖναί σοι καταχρῆσθαί μου τῇ τέχνῃ;

§ 26. Ταῦτα μὲν οὖν εἶχον ἂν λέγειν, εἰ καὶ δυνατά μοι οὗτος προσέταττεν. Ἐγὼ δὲ μὴ πάντως ἅπασι, μηδὲ πρὸς ἀνάγκην ὑπήκουον. Νῦν δὲ ἤδη σκέψασθε καὶ οἷά ἐστιν αὐτοῦ τὰ ἐπιτάγματα. Ἐπεὶ γὰρ ἐμὲ ἰάσω, φησὶ, μεμηνότα, μέμηνε δὲ καὶ ἡ γυνὴ, καὶ τὰ ὅμοια πάσχει, (τοῦτο γὰρ οἴεται) καὶ ὑπὸ τῶν ἄλλων ὁμοίως ἀπέγνωσται, δύνασαι δὲ σὺ πάντα ὡς ἔδειξας, ἴω καὶ ταύτην, καὶ ἀπάλλαττε ἤδη τῆς νόσου. Τοῦτο δὲ, οὑτωσὶ μὲν ἁπλῶς ἀκοῦσαι πάνυ εὔλογον ἂν δόξειε, καὶ μάλιστα ἰδιώτῃ, καὶ ἀπείρῳ ἰατρικῆς. Εἰ δέ μου ἀκούσετε ὑπὲρ τῆς τέχνης δικαιολογουμένου, μάθοιτ᾽ ἂν, ὡς οὔτε πάντα ἡμῖν δυνατά ἐστιν, οὔθ᾽ αἱ τῶν νοσημάτων φύσεις παραπλήσιοι, οὔτ᾽ ἴασις ἡ αὐτὴ, οὔτε φάρμακα τὰ αὐτὰ ἐπὶ πάντων ἰσχυρά. Καὶ τότ᾽ ἔσται δῆλον, ὡς πάμπολυ τοῦ μὴ βούλεσθαί τι, τὸ μὴ δύνασθαι διαφέρει. Ἀνάσχεσθε δέ μου τὰ περὶ τούτων φιλοσοφοῦντος, καὶ μὴ ἀπειρόκαλον, μηδ᾽ ἐξαγώνιον,[2] μηδ᾽ ἀλλότριον, ἢ ἄκαιρον ἡγήσησθε τὸν περὶ τῶν τοιούτων λόγον.

§ 27. Πρῶτα μὲν δὴ σωμάτων φύσεις, καὶ κράσεις οὐχ αἱ αὐταὶ, κἂν ὅτι μάλιστα ἐκ τῶν ὁμοίων συνεστάναι ὁμολογῶνται· ἀλλὰ τὰ μὲν τῶνδε, τὰ δὲ τῶνδε, μᾶλλον ἢ ἔλαττον μετέχει. Καὶ λέγω τοῦτο ἔτι περὶ τῶν ἀνδρείων, ὡς οὐδὲ ταῦτα πᾶσιν ἴσα, ἢ ὅμοια, οὔτε τῇ κράσει, οὔτε τῇ συστάσει, διάφορα δὴ[2] καὶ μεγέθει, καὶ εἴδει, ἀνάγκη καὶ τὰ νοσήματα ἐγγίνεσθαι αὐτοῖς· καὶ τὰ μὲν,[3] εὐΐατα εἶναι, καὶ πρὸς τὴν θεραπείαν ἀναπεπταμένα, τὰ δὲ, τέλεον ἀπεγνωσμένα, καὶ ῥᾳδίως ἁλισκόμενα, καὶ κατὰ κράτος ὑπὸ τῶν νοσημάτων λαμβανόμενα. Τὸ τοίνυν οἴεσθαι πάντα πυρετὸν, ἢ πᾶσαν φθόην, ἢ περιπνευμονίαν, ἢ μανίαν,

---

§ 25. 2. Προδεδωκότες.) Καὶ εἴημεν πρότερον δεδωκότες αὐτοῖς μισθὸν τὸ δουλεύειν αὐτοῖς καὶ τὸ ὑπηρετεῖν πάντα κελεύουσι.

§ 26. 2. Ἐξαγώνιον.) Ἤτοι ἔξω τοῦ ἀγῶνος καὶ τῆς παρούσης ὑποθέσεως.

§ 27. 2. Διάφορα δή.) Ὁ Δὴ συμπερασματικός. Ἐπεὶ οὐχ ἴσα καὶ ὅμοια τὰ τῶν ἀνδρῶν εἰσὶ σώματα, ἄρα ἀνάγκη ἐγγίνεσθαι αὐτῆς καὶ τὰ νοσήματα διάφορα καὶ μεγέθει καὶ εἴδει. — 3. Καὶ τὰ μέν.) Ἀπὸ κοινοῦ τὸ, Ἀνάγκη. —

μίαν καὶ τὴν αὐτὴν οὖσαν τῷ γένει, ὁμοίαν ἐπὶ παντὸς εἶναι σώματος, οὐ σωφρονούντων, οὐδὲ λελογισμένων, οὐδὲ τὰ τοιαῦτα ἐξητακότων ἐστὶν ἀνθρώπων· ἀλλὰ τὸ αὐτὸ[4] ἐν μὲν τῷδε, ῥᾴδιον ἰᾶσθαι, ἐν δὲ τῷδε, οὐκ ἔτι. Ὥσπερ οἶμαι, καὶ πυρὸν, ἢν τὸν αὐτὸν ἐς διαφόρους χώρας ἐμβάλῃς, ἄλλως μὲν ἐν τῇ πεδινῇ, καὶ βαθείᾳ, καὶ ποτιζομένῃ, καὶ εὐηλίῳ, καὶ εὐηνέμῳ, καὶ ἐξειργασμένῃ, ἀναφύσεται, εὐθαλὴς, οἶμαι, καὶ εὔτροφος, καὶ πολύχους καρπὸς, ἄλλως δὲ ἐν ὄρει, καὶ ὑπολίθῳ γηδίῳ, ἄλλως δὲ ἐν δυσηλίῳ, ἄλλως δὲ ἐν ὑπωρείᾳ, καὶ ὅλως, διαφόρως καθ' ἑκάστους τόπους. Οὕτω δὲ καὶ τὰ νοσήματα παρὰ τοὺς ὑποδεξαμένους τόπους, ἢ εὔφορα, ἢ εὔτροφα, ἢ ἐλάττω γίγνεται. Τοῦτο τοίνυν ὑπερβὰς ὁ πατὴρ, καὶ ὅλον ἀνεξέταστον καταλιπὼν, ἀξιοῖ πᾶσαν μανίαν τὴν ἐν ἅπαντι σώματι, ὁμοίαν εἶναι, καὶ τὴν θεραπείαν ἴσην.

§ 28. Πρὸς δὲ τούτοις τοσούτοις οὖσιν, ὅτι τὰ γυναικεῖα σώματα πάμπολυ τῶν ἀνδρείων διαφέρει πρός τε νόσου διαφορὰν, καὶ πρὸς θεραπείας ἐλπίδα, ἢ ἀπόγνωσιν, ῥᾴδιον καταμαθεῖν. Τὰ μὲν γὰρ τῶν ἀνδρῶν εὐπαγῆ, καὶ εὔτονα, πόνοις, καὶ κινήσεσι, καὶ ὑπαιθρίῳ διαίτῃ γεγυμνασμένα, τὰ δὲ,[2] ἔκλυτα, καὶ ἀσυμπαγῆ, ἐν σκιᾷ τετραφημένα, καὶ λευκὰ αἵματος ἐνδείᾳ, καὶ θερμοῦ ἀπορίᾳ, καὶ ὑγροῦ περιττοῦ ἐπιῤῥοίᾳ· εὐαλωτότερα τοίνυν τῶν ἀνδρείων, καὶ ταῖς νόσοις ἐκκείμενα, καὶ τὴν ἴασιν οὐ περιμένοντα, καὶ μάλιστα πρὸς μανίας εὐχερέστερα. Ἅτε γάρ[3] πολὺ τὸ ὀργίλον, καὶ κοῦφον, καὶ ὀξυκίνητον ἔχουσαι, ὀλίγην δὲ τὴν τοῦ σώματος αὐτοῦ δύναμιν, ῥᾳδίως ἐς τὸ πάθος τοῦτο κατολισθαίνουσιν.

§ 29. Οὐ δίκαιον τοίνυν παρὰ τῶν ἰατρῶν τὴν ὁμοίαν ἐπ' ἀμφοῖν[2] θεραπείαν ἀπαιτεῖν, εἰδότας ὡς πολὺ τοὺν μέσῳ,[3] βίῳ παντὶ,[4] καὶ πράξεσιν ὅλαις, καὶ πᾶσιν ἐπιτηδεύμασιν, ἐξ ἀρχῆς εὐθὺς κεχωρισμένων.[5] Ὅταν τοίνυν λέγῃς, ὅτι μέμηνε, προστίθει ὅτι καὶ γυνὴ οὖσα μέμηνε. Καὶ μὴ σύγχει ταῦτα πάντα τῷ τῆς μανίας ὑπάγων ὀνόματι, ἑνὶ καὶ τῷ αὐτῷ δοκοῦντι· ἀλλὰ χωρίσας ὥσπερ ἐστὶ καὶ ἐν τῇ φύσει, τὸ δυνατὸν ἐφ' ἑκάστου σκόπει. Καὶ γὰρ ἡμεῖς, ὅπερ ἐν ἀρχῇ τῶν λόγων εἰπὼν μέμνημαι, τοῦτο

---

4. Ἀλλὰ τὸ αὐτό.) Πάθος δηλ.

§ 28. 2. Τὰ δέ.) Τῶν γυναικῶν — 3. Ἅτε γάρ.) Τὸ Ἅτε αἰτιολογικῶς πρὸς μετοχήν· οἷον ῥᾳδίως γὰρ κατολισθαίνουσιν, ἔχουσαι· ἤτοι ὡς ἔχουσαι· εἶτ' οὖν· ἐπειδὴ ἔχουσι.

§ 29. 2. Ἐπ' ἀμφοῖν.) Τῶν ἀνδρείων δηλ. καὶ γυναικείων σωμάτων. — 3. Τοὺν μέσῳ.) Τὸ ἐν μέσῳ τοῦτ' ἔστι· τὸ μεταξὺ εἶτ' οὖν ἡ διαφορά. — 4. Βίῳ παντί.) Ἐν βίῳ παντί. Ἐλλείπει δηλ. ἡ, Ἐν. — 5. Κεχωρισμένων.) Ἀμφοῖν τῶν σωμάτων τῶν ἀνδρῶν καὶ γυναικῶν. τὸ Κεχωρισμένον πρὸς τὸ Ἐπ' ἀμφοῖν.

πρῶτον ἐπισκοποῦμεν, φύσιν σώματος τοῦ νοσοῦντος, καὶ κρᾶσιν, καὶ τίνος πλείονος μετέχει, καὶ εἰ θερμότερον, ἢ ψυχρότερον, ἢ ἀκμάζον, ἢ παρηβηκὸς, καὶ μέγα, ἢ μικρὸν, καὶ πιμελὲς, ἢ ὀλιγόσαρκον, καὶ πάντα τὰ τοιαῦτα. Καὶ ὅλως ἄν τις αὐτὰ προεξετάσῃ, πάνυ ἀξιόπιστος ἂν εἴη, ἀπογινώσκων τι, ἢ ὑπισχνούμενος.

§ 30. Ἐπεὶ[2] καὶ τῆς μανίας αὐτῆς μυρία εἴδη ἐστὶ, καὶ παμπόλλους ἔχει τὰς αἰτίας, καὶ οὐδὲ τὰς προσηγορίας αὐτὰς ὁμοίας. Οὐ γὰρ ταὐτὸν παρανοεῖν, καὶ παραπαίειν, καὶ λυττᾷν, καὶ μεμηνέναι, ἀλλὰ ταῦτα πάντα τοῦ μᾶλλον, ἢ ἧττον ἔχεσθαι τῇ νόσῳ,[3] ὀνόματά ἐστιν· αἰτίαι τε, τοῖς μὲν ἀνδράσιν ἄλλαι, ταῖς δὲ γυναιξὶν ἕτεραι, καὶ τῶν ἀνδρῶν αὐτῶν, τοῖς μὲν νέοις ἄλλαι, τοῖς δὲ γεγηρακόσι, διάφοροι, οἷον, νέοις μὲν πλῆθος[4] ὡς τὸ πολύ· γέροντας δὲ[5] διαβολὴ ἄκαιρος, καὶ ὀργὴ ἄλογος πολλάκις κατ' οἰκείων ἐμπεσοῦσα, τὸ μὲν πρῶτον, διετάραξεν, εἶτα, κατ' ὀλίγον ἐς μανίαν περιέτρεψε· γυναικῶν δὲ πολλὰ καθικνεῖται, καὶ ῥᾳδίως ἐς τὴν νόσον ἐπάγεται, μάλιστα δὲ μῖσος κατά τινος πολὺ, ἢ φθόνος ἐπ' ἐχθρῷ εὐτυχοῦντι, ἢ λύπη τις, ἢ ὀργή· κατ' ὀλίγον ταῦτα ὑποτυφόμενα, καὶ μακρῷ χρόνῳ ἐντρεφόμενα, μανίαν ἀποτελεῖ.

§ 31. Τοιαῦτά σοι, ὦ πάτερ, καὶ ἡ γυνὴ πέπονθε, καὶ ἴσως τι λελύπηκεν αὐτὴν ἔναγχος. Οὐδὲν γὰρ ἐκείνη ἐμίσει, πλὴν ἔχεταί γε, καὶ οὐκ ἂν ἐκ τῶν παρόντων ὑπ' ἰατροῦ θεραπευθῆναι δύναιτο, ὡς εἴγε[2] ἄλλος τις ὑπόσχοιτο, εἴ τις ἀπαλλάξειε, μίσει τότε ὡς ἀδικοῦντα ἐμέ. Καὶ μὴν κἀκεῖνο, ὦ πάτερ, οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, ὅτι εἰ καὶ μὴ τελέως οὕτως ἀπέγνωστο, ἀλλά τις ἔτι σωτηρίας ἐλπὶς ὑπεφαίνετο, οὐκ ἂν οὐδὲ οὕτω ῥᾳδίως προσηψάμην, οὐδ' αὖ προχείρως φάρμακον ἐγχέαι ἐτόλμησα, δεδιὼς τὴν τύχην, καὶ τὴν παρὰ τῶν πολλῶν δυσφημίαν. Ὁρᾷς, ὡς οἴονται πάντες εἶναί τι μῖσος πρὸς τοὺς προγόνους πάσαις μητρυιαῖς, κἂν ὦσι χρησταί, καί τινα κοινὴν μανίαν ταύτην γυναικείαν αὐτὰς μεμηνέναι; Τάχα οὖν τις ὑπώπτευσεν,[3] ἄλλως χωρήσαντος τοῦ κακοῦ, καὶ τῶν φαρμάκων οὐ δυνηθέντων, κακοήθη, καὶ δολερὰν τὴν θεραπείαν γεγονέναι.

§ 32. Καὶ τὰ μὲν τῆς γυναικὸς, ὦ πάτερ, οὕτως ἔχει· καὶ πάνυ σοι τετηρηκὼς λέγω· οὔποτε ῥᾷον ἕξει, κἂν μυριάκις πίῃ τοῦ φαρμάκου· διὰ τοῦτ' ἐπιχειρεῖν οὐκ ἄξιον, εἰ μὴ πρὸς μόνον

---

§ 30. 2. Ἐπί.) Προσθετικὸν ἀντὶ Ἔτι δέ. — 3. Ἔχεσθαι τῇ νόσῳ.) Ἔχομαι τούτου, μετὰ γενικῆς σημαίνει, Κατέχω τοῦτο· οἷον· εἰμὶ τούτου ἐξημμένος· τὸ δὲ Ἔχομαι τούτῳ, δοτικῇ· παθητικῶς· ἀντὶ τοῦ Κατέχομαι ὑπὸ τούτου. — 4. Πλῆθος.) Τὸ παρ' ἡμῖν Πληθώρα καλούμενον. — 5. Γέροντας δέ.) Κατ' ἄλλους Γέρουσι, ὅπερ καὶ κάλλιον· φέρεται γὰρ πρὸς τὸ Ἐμπεσοῦσα.

§ 31. 2. Ὡς εἴγε.) Ὥστε εἴγε καὶ τλ. — 3. Ὑπώπτευσεν.) Ἀντιχρονισμὸς ὑπ' ὄψιν ἄγων τὸ λεγόμενον.

τὸ ἀποτυχεῖν με κατεπείγεις, καὶ κακοδοξίᾳ περιβαλεῖν θέλεις. Ἔασον ὑπὸ τῶν ὁμοτέχνων φθονεῖσθαι. Ἐὰν δέ με ἀποκηρύξῃς πάλιν, ἐγὼ μέν, καί τοι πάντων ἔρημος γενόμενος, οὐδὲν κατὰ σοῦ δεινὸν εὔξομαι. Τί δ᾽ ἄν, ὅπερ μὴ γένοιτο, αὖθις ἡ νόσος ἐπανέλθοι; (φιλεῖ γάρ πως τὰ τοιαῦτα ἐρεθιζόμενα παλινδρομεῖν) τί με πρᾶξαι[2] δεήσει; Θεραπεύσω μὲν εὖ ἴσθι καὶ τότε, καὶ οὔποτε λείψω τὴν τάξιν, ἣν τοὺς παῖδας ἔταξεν ἡ φύσις, οὐδὲ τοῦ γένους τὸ ἐπ᾽ ἐμαυτῷ[3] ἐπιλήσομαι. Εἶτ᾽ ἂν σωφρονήσῃς, αὖθις ἀναλαμβάνειν πώποτε πιστεῦσαί με δεῖ; Ὁρᾷς ἤδη, καὶ ταῦτα ποιῶν, ἐπισπᾷ τὴν νόσον, καὶ ὑπομιμνήσκεις τὸ πάθος· χθὲς, καὶ πρώην, ἐκ τηλικούτων κακῶν ἀνασφήλας, διατείνῃ, καὶ βοᾷς, καὶ τὸ μέγιστον, ὀργίζῃ, καὶ πρὸς μῖσος τρέπῃ, καὶ τοὺς νόμους ἀγανακτεῖς. Οἴμοι! πάτερ, τοιαῦτ᾽ ἦν σου καὶ τῆς πάλαι μανίας τὰ προοίμια.

# ΕΚ ΤΩΝ ΛΙΒΑΝΙΟΥ.

## ΠΡΕΣΒΕΥΤΙΚΟΙ.

### Πρὸς τοὺς Τρῶας ὑπὲρ τῆς Ἑλένης.

### Ὑπόθεσις.

Ὅμηρος μὲν ἐποίησε τὸν Ἀντήνορα πρὸς τὴν Ἑλένην εἰπεῖν δεικνύουσαν ἀπὸ τοῦ τείχους ἕκαστον τῶν Ἑλλήνων στρατηγῶν περὶ Ὀδυσσέως καὶ Μενελάου· ὅτι ἦλθον πρεσβεύοντες εἰς Ἴλιον ὑπὲρ αὐτῆς. Καὶ ὁ μὲν Μενέλαος ἐφάνη ὀλίγοις μὲν, ἡδίστοις δὲ χρώμενος τοῖς λόγοις δημηγορῶν, καὶ τούτοις εὐστόχως· ὁ δ᾽ Ὀδυσσεὺς πολλοῖς καὶ κατὰ νιφάδας χειμερίους, ὥστε ἔδοξε πλέον ἢ κατὰ ἄνθρωπον, δημηγορῶν. Ἰλ. Γ΄. 205. . . . 224. Ἡρόδοτος δὲ ἐν μὲν Κλειοῖ, γ΄. ὡς ἔπεμψαν ἀγγέλους οἱ Ἕλληνες εἰς Τροίαν καὶ δίκας τῆς ἁρπαγῆς ᾔτουν τῆς Ἑλένης· ἐν δὲ Εὐτέρπῃ, ὡς ἐκβάντες εἰς τὴν γῆν τῆς Τρῳάδος οἱ Ἕλληνες, ἔπεμψαν Μενέλαον σὺν ἄλλοις εἰς Ἴλιον ἀπαιτήσοντας Ἑλένην, καὶ τὰ χρήματα, ὅσα Ἀλέξανδρος κλέψας ἐκ Σπάρτης σὺν Ἑλένῃ ᾤχετο· καὶ τῶν ἀδικημάτων δίκας ᾔτουν. Ταῦτα οὖν ἀφορμὴν λαβὼν Λιβάνιος, ἰδίας μελέτας ποιούμενος, καὶ τοὺς δύο τούτους Πρεσβευτικοὺς συνέθετο λόγους, ἐν οἷς πλάττει ὅμοια τοῖς ὑπὸ Ὁμήρου λεχθεῖσι, τὸν μὲν Μενέλαον ἐπίτομα, ἥδιστα, καὶ ἀπέριττα λέγοντα· τὸν δὲ Ὀδυσσέα πολλὰ, εὖ συντεθειμένα, ἐν δεινοτέρῳ ὕφει ἐξυφασμένα, ὡς δεινότερον τὰ τοιαῦτα. Καὶ πρῶτον μὲν εἰσάγει Μενέλαον λέγοντα, ὡς ἰδίου ὄντος τοῦ ἀδικήματος, δεύτερον δὲ Ὀδυσσέα ὡς δεινὸν τὸ λέγειν, καὶ περὶ τὰ τοιαῦτα ἐμπειρότερον· ὃς ὅσα τε διὰ βραχέων διεξῆλθε Μενέλαος, πλατύτερον ἐκτίθησι, καὶ ἀφ᾽ ἑαυτοῦ, ὅσα ἐκείνῳ λέλειπται, προστίθησι.

### Α΄. Μενέλαος.

§ 1. Εἰ μὲν ἐβούλετο Ἀλέξανδρος, ὦ Τρῶες, κἂν κατὰ μικρὸν εἶναι δίκαιος, οὔτε ἐκκλησίας νῦν ἔδει οὔθ᾽ ὅπλων,[2] οὔτε

§ 32. 2. Τί με πρᾶξαι.) Ἐπανάληψις· διὰ γὰρ τὰ μεταξὺ παρεμπεσόντα τὸ Τί, πολὺ τοῦ ῥήματος ἀποστάν, οὐκ εὐξύνετον ἔχει τὴν ἀπόδοσιν· ὅθεν ἡ ἐπανάληψις ὑπομονὴν τῆς ἀποδόσεως ποιεῖται. — 3. Τὸ ἐπ᾽ ἐμαυτῷ.) Κατὰ τὸ ἐπ᾽ ἐμαυτῷ ἤτοι ὅσον ἐστὶν ἐπ᾽ ἐμοί.

§ 1. 2. Οὔθ᾽ ὅπλων καὶ τλ.) Οὐκ